bellando periſſent, & eorum filios ad pubertatem vſque publicis alimentis enutriri. Huiuſcemodi igitur leges in populari principatu ferendæ ſunt. In oligarchiis verò, quæ paucorum dominatu adminiſtrantur, magiſtratus æquè ſunt in omnes illius ordinis viros diſtribuendi legibus. Horum autē plurimi quidem ex ſortitione, maximi verò magiſtratus occulto ſuffragio, & iureiurando, & magna cum diligentia, atque ſtudio decernendi ſunt. In eos autem, qui vlla in ciues vti contumelia perrexerint, maximæ ſunt pœnæ conſtituendæ. Plebs nanque non ita ægrè patitur quòd magiſtratibus caret, quàm grauiter & moleſtè fert, quòd afficitur contumelia. Ciuium autē cōtrouerſias perbreui diſſoluere, neque in tempus trahere conuenit. Neque vulgus in vrbem ex agro eſt congregandum. Nam ex huiuſmodi conuentibus plebes turbantur, paucorúmque principatus reſcindunt. Vt paucis igitur dixerim, debent in popularibus principatibus leges cohibere plebem, ne locupletiorum bonis inhient, inſidientúrque: in paucorum verò principatibus auertere illos, qui Rempublicam gerunt, & ab imbecillorum contumeliis, & à calumniis, inſimulationibúſque in ciues. Quæ igitur & in legibus, & in omni conſtitutione ciuili deſideranda, obſeruandáque ſunt, ex his cognoſces. Is autem orator, qui quicquam lege ſuadere voluerit, hanc oſtendat oportet æqualem eſſe ciuibus, & reliquis legibus conſentaneam, ciuitatíque conducibilem ad quietem, & concordiam maximè, vel ad ciuium probitatem, aut ad publica tributa, aut ad ipſius Reipublicæ gloriam, aut ad vrbis potentiam, aut ad aliud huiuſmodi aliquid vſui cedere. Aduerſarius verò primùm conſiderabit, aut minùs lex illa communis ſit omnibus, deinde an reliquis legibus non conſentiat, ſed aduerſetur potiùs quodam modo: præterea an ad horum, quæ antè dicta ſunt, conductura ſit nihil, ſed contrà nocitiua potiùs. De legibus igitur, déque conſtitutione ciuili ex his & contendendo, & orando nobis faciliùs aditus fiet. De ſociis autem, déque aduerſus alias vrbes fœderibus dicere incipiemus. Fœdera igitur, atque eorum ordines, neceſſe eſt publicis conuentionibus fiant. Socij verò pro ea temporum ſunt conditione faciundi, cùm aliqui ſuis viribus infirmi ſunt, aut bellum aliquod videatur impendere, aut eo cùm aliquibus ineunda ſocietas, quòd bello quoſdam à ſe defecturos putent.

A πόλεως ἀφαιρεῖσθαι, καὶ τοῖς παισὶν αὐτῶν ἕως ἥβης δημοσίαν τροφὴν δίδοσθαι. τὴν μὲν οὖν ἐν τῇ δημοκρατίᾳ νόμων τὴν θέσιν τοιαύτην δεῖ ποιεῖσθαι. περὶ δὲ τὰς ὀλιγαρχίας, τὰς μὲν ἀρχὰς δεῖ τοὺς νόμους ἀπονέμειν ἐξ ἴσου πᾶσι τοῖς τῆς πολιτείας μετέχουσι. τούτων δὲ εἶναι, τὰς μὲν πλείστας κληρωτὰς, τὰς δὲ μεγίστας, κρυπτῇ ψήφῳ μεθ' ὅρκων καὶ πλείστης ἀκριβείας B διαψηφιστάς. δεῖ δὲ τὰς ζημίας ἐν τῇ ὀλιγαρχίᾳ μεγίστας ἐπικεῖσθαι τοῖς ὑβρίζειν τινὰς τῶν πολιτῶν ἐπιχειροῦσι. τὸ γὰρ πλῆθος, οὐχ οὕτως ἀρχῶν ἀγανακτεῖ στερόμενον, ὡς ἔχει βαρέως ὑβριζόμενον, χρὴ δὲ καὶ τὰς διαφορὰς τῶν πολιτῶν ὅτι τάχιστα διαλύειν, καὶ μὴ χρονίζεσθαι, μηδὲ συνάγειν ἐκ τῆς χώρας ἐπὶ τὴν πόλιν τὸν ὄχλον. ἐκ γὰρ τῶν τοιούτων συνόδων συστρέφεται τὸ πλῆθη, καὶ καταλύει τὰς ὀλιγαρχίας. C καθόλου δὲ εἰπεῖν, δεῖ τοὺς νόμους ἐν μὲν ταῖς δημοκρατίαις κωλύειν τοὺς πολλοὺς ταῖς τῶν πλουσίων οὐσίαις ἐπιβουλεύειν· ἐν δὲ ταῖς ὀλιγαρχίαις, ἀποτρέπειν τοὺς τῆς πολιτείας μετέχοντας ὑβρίζειν τοὺς ἀσθενεστέρους καὶ συκοφαντεῖν τοὺς πολίτας. ὧν μὲν οὖν ὀρέγεσθαι δεῖ τοὺς νόμους καὶ τὴν πολιτικὴν κατασκευὴν, ἐκ τούτων οὐκ ἀγνοήσεις. δεῖ δὲ D τὸν συναγορεύειν ἐθέλοντα νόμῳ, δεικνύειν τοῦτον ἴσον ὄντα τοῖς πολίταις, ὁμολογούμενόν τε τοῖς ἄλλοις νόμοις, καὶ συμφέροντα τῇ πόλει, μάλιστα μὲν πρὸς ὁμόνοιαν· εἰ δὲ μὴ, πρὸς τὴν τῶν πολιτῶν καλοκἀγαθίαν, ἢ πρὸς τὰς κοινὰς προσόδους, ἢ πρὸς εὐδοξίαν τοῦ κοινοῦ τῆς πόλεως, ἢ πρὸς τὴν πολιτικὴν δύναμιν, ἢ πρὸς ἄλλο τι τῶν τοιούτων. ἀντιλέγοντα δὲ, δεῖ σκοπεῖν πρῶτον μὲν εἰ μὴ E κοινὸς ὁ νόμος· ἔπειτα εἰ μὴ τοῖς ἄλλοις ὁμολογῶν, ἀλλ' ὑπεναντίος ἐστίν. ἐπὶ τούτοις, εἰ μὴ πρὸς μηδὲν τῶν εἰρημένων συμφέρον, ἀλλὰ τοὐναντίον βλαβερός. περὶ μὲν οὖν νόμων καὶ τῆς κοινῆς κατασκευῆς, ἐντεῦθεν καὶ τιθέναι καὶ λέγειν εὐπορήσομεν. περὶ δὲ συμμάχων καὶ τῶν πρὸς τὰς ἄλλας πόλεις συμβολαίων διελθεῖν ἐπιχειρήσομεν. τὰ μὲν οὖν F συμβόλαια καὶ τὰς τάξεις, ἀναγκαῖον κατὰ συνθήκας κοινὰς γίνεσθαι· συμμάχους δὲ ποιεῖσθαι κατὰ τοὺς καιροὺς τούτους, ὅταν τινὲς καθ' ἑαυτοὺς ὦσιν ἀσθενεῖς, ἢ πόλεμος ἤ τις προσδόκιμος, ἢ διὰ τοῦτο ποιήσασθαι συμμαχίαν πρός τινας, ὅτι πολέμου ἀποστήσειν τινὰς νομίζουσιν.